Пóтъ (*ἱδρὼς*). Потѣ́ю (*ἱδρόω, ἰδίω*) *πότος, ποτέω,* (*ποτίω*) *ποτίζω· ἐκ τοῦ* Пою̀ = *πόω, ποτάω, ποταμὸς, κτλ. ὡς ἐκ τῆς ὑγρότητος τȣ͂ ἱδρῶτος· καθὰ καὶ ἐκ τȣ͂ Λακων. ὕδωρ, ὕδορ* =*ὕδος, ὕδας* (*ὕδα*, водà), *τὸ ἵδορ, ἵδος, ἱδρὸς, ἱδρώς*=*ϳὕδορ, λτ.* sudor· *ὅθεν ἰδίω, ἱδρόω* (*υ* = *ι, αἰολικ.*)· *καὶ τὸ Γρμ.* Schweiss, schwitzen, *ἐκ τȣ͂* Wasser, Water (*Ϝάδορ* = *ὕδωρ, βέδυ*), *ὅθεν καὶ* Schwaddern, Schwette, *κτλ.*

Почію (*ἀναπαύομαι, καταπαύω, κεῖμαι. ἐκ τῆς* По, *καὶ τȣ͂ ἀπηρχαιομένȣ* чію, *ὡς ἐκ θέματος* чи, *Δοβρόβ. σελ.* 104) = *κείω, κέκοια, κοίω,* (*ἐπι-κείω*). *βλ.* Покóй.

Пóчка (*νεφρὸς.* 2, *ὄζος, ὀφθαλμὸς φυτȣ͂*) *φύσκα, φύσκη* (*φ* = *π, καὶ υ* = *ο, οἷον πόσκα*). *παρὰ τὸ φύω, φύζω, διὰ τὸ ὀγκῶδες. βλ.* Пýчу.

Пою̀ (*ποτίζω*) *πόω* (*ἀρχαῖον· ὅθεν πέπωκα, καὶ πῶ* = *πῶθι, πόθι*=*πῖθι, πίε, ἐκ τȣ͂ πῖμι, πίω· ἀφ᾽ οὗ καὶ πίζω*=*ποτίζω*), *λτ.* poto.—Пью̀, *καὶ* Пію̀, *πίω* (*πίνω*), *Καρν.* pijëm (*οἷον πίημι* =*πῖμι*), *Βομ,* pjm, pigu, *Πολ.* piję, pijam, *κτλ. Συσκρ.* peju, *Γαλ.* boie, *λτ.* bibo, *ἐκ τȣ͂ πίϜω. ὡς καὶ* Пи́во = *πῖϜος* (*ποτὸν*), *καὶ ἡ συνήθ. πίβα* (*ζύθος*). Питiè, *Ῥωσ.* Питьè, *λτ.* potio, *πότις, πίτις* (*τ* = *σ*), *ἀντὶ πόσις, καὶ ποτὴς, ἡ.* Пья́ный, Пья́нъ (*μέθυσος*) *πιανὸς* (*ὅθεν*

τὸ κύριον ὄνομα Ἀπιανός), συνήθ. πιωμένος. καὶ Пьянѣю (μεθύω). Піющій, πότης (ὡς πεῖσος, πίσος)· καὶ Ῥωσ. Δαλματ. Βοεμ. Потóкъ (ποταμὸς, καὶ ῥύαξ) οἷον ποτὸς (ὡς, πότος, ὅθεν λτ. poto). ἐκ δὲ τοῦ πότος, ποτὸς (ποτάω), καὶ τὸ ποταμός. Пропиваю (καταδαπανῶ), ὡς τὰ, προπίνω, καταπίνω. Запóй, ζάποσις=διάποσις (μέθη διαρκὴς, οὐ μόνον ὅλην νύκτα, ἢ ὅλην ἡμέραν, οὐδὲ νυχθήμερον ὅλον μόνον, ἀλλ' ἑβδομάδα νυχθημέρων ὅλην πολλάκις πίνοντος καὶ κραιπαλῶντος τοῦ ἅπαξ μεμεθυκότος).

Пою̀ (ᾄδω, ψάλλω, ὑμνῶ. πόω)=φόω, φώω, βόω, βοῶ, βάω, φάω, φάσκω [ἐκ τοῦ ἄω, Ϝάω, Ϝόω· ὅθεν καὶ (ὕω) ὕδω, ὡς (ἀέδω) ἀείδω (ἀΐδω), ᾄδω, κτλ.]. Ἕτερον δὲ τὸ πόω, ὅθεν ποιῶ. (βλ. Ῥείμ. λ. πάω, ποιῶ).

Прà βλ. Прò.

Прáвый, Прáвъ (εὐθὺς, ὀρθὸς, δεξιὸς, ἀληθής· καὶ δίκαιος, ἀθῷος) πράϜιος, πράϊος, πράϜος =πρώϊος, πρῶϜος (ὅθεν ἴσως καὶ τὸ μ. λτ. bravus, Ἰτ. brauo, Γλ. brave, ταῦτα δὲ κατά τινας=λτ. probus, probo, κτλ.). Ἐκ τοῦ πέρω (Перу̀), πέρος, πέραν, πρὴν, τὸ πράϊος (ὅθεν πρᾶτος), καὶ πρὸ, πρώϊος (ὅθεν πρῶτος), κυρίως ὁ προέχων ἐπ' εὐθείας (ὅθεν εὐθὺς, καὶ ἑπομένως ὁ δεξιός· τὰ γὰρ δεξιὰ, εὐθέα τε καὶ ὀρθὰ καὶ αἴσια ἀνέκαθεν ἐνομίζοντο. οὕτω καὶ τὸ Γρμ. recht (λτ. rectus ἐκ τοῦ

ἔρω, ὄρω, ὀρέγω, ὀρεκτὸς, Γρμ. aus-gereckt, ὄρθιος)=ὀρθὸς, εὐθὺς, καὶ δεξιὸς, καὶ ἀληθὴς (ὅθεν gerecht, κτλ.). Ἐκ τοῦ πέρω καὶ ἡ πρὸς (πέρος, πέραν), ὅθεν καὶ τὸ πρεῦς (πραῦς), παρ' ὃ (πρεύω) πρέπω, καὶ πράπω, πρέπον, πρόπος· οὕτω καὶ Пра́вда (ἀλήθεια, δικαιοσύνη, δικαίωμα, κώδηξ πολιτικοῦ δικαιώματος)=(πράπτα) πρεπτὴ, πρεπτὸν, πράπον, τὸ πρέπον = προέχον, εὐθὺ (ὡς καὶ πρῆον, πρᾶϝον = ἐξέχον). πβλ. καὶ βράβα, βράβη, βράβης, βραβεὺς, (συγγεν. πράπω, πραύω, πρεύω, ὅθεν καὶ πρέσβυς = πρῶτος, προέχων), βραβεύω (βράβω, Пра́ву) Пра́влю (εὐθύνω, διοικῶ.), κτλ. βλ. Ῥείμ. λ. πρὰν, καὶ πρέπω, καὶ πρέσβυς. βλ. καὶ Пе́рвый, Прямый, Проши́въ, καὶ Прѐ, κτλ. [τὸ δὲ λτ. verus (ἀληθὴς) δοκεῖ μοι παρὰ τὸν ὑπαρκτικὸν τοῦ sum μέλλοντα ero (= ἔσω, ἔσομαι, σ=ρ, δωρικ.), Ϝero, ἐσχηματίσθαι, κατὰ τὸ ἐτεὸς, ἐτὸς, ἐτὺς ἐκ τοῦ ἔω=εἰμὶ, ὅθεν καὶ τὸ ἐὸς, ἐὺς (βλ. Ῥείμ.) = ἐὼν, ἓνς, εἷς (ὢν), θηλ· ἔσσα, δωρικ. οὕτω καὶ τὸ Γρμ. wahr (ἀληθὴς) ἐκ τοῦ war (ἀορίστου τοῦ bin, ἀρχ. bim=Ϝειμὶ) οἷον Ϝᾶρ, ἀντὶ (ἆς) ἦς, δωρικ· = ἦν. ὡς καὶ τὸ Wesen = Ϝεσία, ἐσσία αἰολ. ἡ οὐσία· ἔστι δὲ καὶ ἐκ τοῦ ἔσω, ἔσις=ἐσία. ὅθεν ἂν εἴη, καὶ ἐσὸς, Ϝεσὸς, Ϝerus, ἐσσὸς, ἔσσιος. Ἀλλὰ καὶ τὸ Σλαβ. Истина = ἐ(σ)τανὴ, ἐτανὴ, ἐτανὸς (=ἐτεὸς,

ἐτὸς), παρὰ τὸ Éсть, ἀντὶ Éстина. ὡς τὸ τῶν Ἠλείων, ἴττεον (ἀντὶ ἔσσιον) = ὁσία (Ἡσύχ.), ἔςι δὲ καὶ τὸ ε (ἐν τῷ ἐςὶ) κατὰ τὴν ἀρχαίαν προφορὰν = ει = ι = и. Τοῦτο νῦν μοι δοκεῖ πιθανώτερον τὸ ἔτυμον τȣ̃ Йстина, ὃ παρὰ τὸ Йстый. βλ. Йстый, καὶ Éсть, Ей, Нй.

Пра́здный, Пра́зденъ [ἀργὸς = κενὸς, ἐπὶ τόπου. 2, ἀργίας καιρὸς, σχολή· ἐπὶ χρόνȣ. 3, ἀργὸς, ἀεργός· ἐπὶ ἀνθρώπου· ὡς τὸ λτ. vacuus, κενὸς, vacuo, vacare = κενὸν εἶναι, καὶ σχολάζειν· καὶ τὸ τοῦ μέσȣ ἑλληνισμοῦ, σχολάζω, καὶ "σχολάζων τόπος (Πλέταρχ.)· καὶ τὸ συνήθ. εὔκαιρος καὶ ἄδειος, ὅ, τε κενὸς, καὶ ὁ σχολάζων, ἀργᾶν]. Пра́здникъ (ἀργία = ἑορτὴ), ὡς ἀπὸ θέματος Празд— = πραστὸς, ἀντὶ περαςὸς (ὡς πρασιὰ = περασιά), περατὸς, περάσιμος· ἐκ τȣ̃ πέρω, περάω, Перу̀ (Пра́ю), περάζω (περάσω, ὅθεν καὶ τὰ πράσσω, πρήσσω), πράσδω (Празд-), κυρίως ὁ περάσιμος καὶ πόρον ἔχων, ὅθεν κενὸς = πορώδης = Поро́жній (κενὸς), κτλ. βλ. Прѐ, Пре́дъ. [ἴσως δὲ καὶ τὸ λτ. (feria) feriæ (ἀργία, ἑορτὴ) = πέρα, πορεία, πέρω, περάω, πειράω, ferio, πορέω. καὶ τὸ Σλαβ. Пи́ръ (δοχὴ, συμπόσιον) = feria. Пиру́ю (εὐωχȣ̃μαι) = ferior].

Прапраде́да (προπροτέττας) = πρόπαππος. βλ. Про̀, καὶ Дѣ́дъ.

*Пра́поръ (σημαία λεγεῶνος) τὸ Βυζαντ. φλάμ-

μυλον, *Σ. φλάμπυρον* (*μ* = *π*), *φράμπυρον* (*φράπυρον· φ* = *π*, *πράπυρον*), *ἐκ τοῦ λτ.* flammulum, flammeum vexillum (*φλογοειδὴς σημαία*), *διὰ τὸ ἐπίμηκες τοῦ σχήματος ἐν εἴδει φλογός.* flamme *τοῦτο καὶ οἱ Γάλλοι καλοῦσι. βλ.* Пла́мя. *Σημείωσ. καὶ ρ* = *λ.*

Прася̀, *βλ.* Порося̀.

Пра́гъ, *βλ.* Поро́гъ.

Пра́хъ, *βλ.* Поро́хъ.

Пра́ща (*σφενδόνη*) *οὐκ, οἶμαι, οἷον φράσκα, φράσκις, ἐκ μεταθ.*=*φράξις*=*Fράξις, ὡς ἐκ τοῦ* Пра́ю (*βλ.* Прещу̀, Пря́гу̀), *ἀλλὰ μᾶλλον συγγεν. φάρω, πάρω* (*σχίζω*), Порю̀. *οὕτως ἐκ τοῦ σφένδω, λτ.* fendo(=findo, fido), funda, *σφενδόνη, Κρτ.* precha, *Κρν.* prezha (Преча), *Πολ.* proca, *Βοεμ.* prak, *καὶ* praskati, prasstiti (*παίειν*) = *φάρκω* (*φράκω*), *φάρξω, φαρκὶς, φάρξις* (*φράξις, φράσκις*, =*σχίσις*). *βλ.* Проща́ю, *καὶ* Бразда̀.

Пра́щуръ (*πρόπαππος*) *πράσγουρ, πράσγυρ, αἰολικ.*=*πρέσβυς* (*β* = *γ*) *πρέσγυς, λτ.* preiscus, priscus. *εὑρίσκεται καὶ σπέργυς, καὶ πέργυς* (*Ἡσύχ.*). *βλ.* Пра́вый, *καὶ* Пе́рвый.

Пра́ю, *ἄχρηστον, ὅθεν* Попира́ю (*πατῶ, ἐπιπατῶ*), *ἡ μετοχὴ* По-пра́въ (*πατήσας· ὡς ἐκ τοῦ* Попра́ю). *βλ. τὸ θέμα* Пру̀, Прю̀.

Прѐ, *Ῥωσσ.* Перѐ, *πρὸς, περὶ* (*καὶ*=*ὑπὲρ, ἐν συνθέσ. ὡς τὸ περὶ*) *ἐκ τοῦ πέρος, πέρα, πέραν, λτ.* per, præ, *Γρμ.* ver, *καὶ περρὲ*=

περὶ, αἰολικ. οἷον, περῤῥέχειν = περιέχειν = ὑπερέχειν, (*ὡς πέῤῥαν = πέραν*)· *ὅθεν περὲ,* Прè, Перè. (*τὸ θέμα πέρω, περῶ,* Перỳ. *βλ.* Па́ра, Парю̀, *καὶ* Прѝ).

Пре́дъ, *'Ρωσσ.* Пере́дъ (*πρὸς, πρὸ*) *προτὶ, = πρὸς, πρὸ=πέρος, πέρις, πέραν, πρὴν, Γρμ.* firn = fern (=fer, feren), *καὶ* Пере́дъ (*ἔνδον, πέραν*) *περαίτερος, -ραίτερον, περαιτέρω, καὶ πρόσω, πόῤῥω, ποῤῥωτέρω, λτ.* porro, (*καὶ Γρμ.* vor = *πρὸ,* vorn, fur, fort, *κτλ.*). Пре́жъ, Пре́жде (*πρότερον*) = *πρόσθε, καὶ* (*πρῷζον*) *πρώϊζον, πρῴην. βλ. τὸ συγγενὲς* Прè.

Пре́зъ, *Σρβ.* Прѣ́зъ(*παρὰ*)*παρέξ. Κρν.*Брез(*πλὴν*).

Прекі́й (*ἐναντίος*). Пере́чу (*ἀνθίςαμαι, ἐναντιῶμαι*) *πρόκος, -κὸς, πρόϊκος* (*προῖκος*), *πρὸξ, προΐζω.* (*ἐκ τῆς πρὸς, πρὸ, πέρω,* Прè· *ὡς ἐκ τῆς ἀντὶ, ἀντίος*)· „*πρόκος, πρόκοος, προῖκος· καὶ βρόκος, καὶ βροῖκος = πονηρὸς* (*'Ησύχ.*). *βλ. 'Ρείμ. λ. πρὸξ.*

Прещу̀ (*ἐπιτιμῶ, ἀπειλῶ. ἀπαρέμ.* Прещи́ти, *ὡς ἐκ τῶ* Прещу̀) *βρήττω, -σσω, βράσσω, βράζω, βράγω, βράχω = βρέμομαι, ἐμβριμάομαι. ἢ, φράζω, φράδω* (*α* = e)· *ὡς ἐκ τῶ λέγω, λέγχω, ἐλέγχω.* [*καὶ τὸ φράζω = = ῥάζω, Fράζω* (*ὅθεν βράζω*), *ῥάγω, ῥήσσω, Γρμ.* brechen (*βρέγειν, ἀντὶ φρέγειν, φράγειν =ῥάγειν*), *ῥηγνύναι· καὶ* sprechen (*φράγειν*) *φράζειν=ῥάζειν* ” *ῥήσσειν=φθόγγον, φωνὴν,* rumpere vocem]. *βλ. καὶ* Рещу̀.

* *

Прѝ (*παρὰ*, *πλησίον*, *ἐμπρὸς*) *παραὶ* (*ὡς ἐκ τῦ πάρω* = *πέρω*, *βλ.* Прѐ, *καὶ* Пápa), *συγκοπῇ* (*πραὶ*), *λτ.* præ, *καὶ πέρις*, *πέρι*, *πρὶ*, (*πέριν· ὅθεν πρὶν*, *πρί*(*ν*), *λτ.* pris, pri, pridem), *Γλ.* près, auprès, *κτλ. ἐκ τῆς πρὸ*, *πρὸς*, *πρόπυ* (*ὡς περί πυ*), *καὶ τὸ λτ.* prope, *ὅθεν καὶ* (propiter) propter. *βλ.* Пре́дъ, Пе́рвый.

При́сный (1, *ἀΐδιος*, *καὶ* При́сно, *ἀεί*) *πρύσι*(*ν*)*ος* [*περύσιος. ἐκ τῦ πέρυς*, *πέρος*, *πέρας*, *περῶ* (*βλ.* Прѐ, Прѝ, *κτλ.*), *ὅθεν διαπρύσιος* = *διαπερῶν*, *διάτορος*, *διόλου ἰὼν* = *διηνεκής*. *Ἐκ τῦ πέρυς καὶ τὸ πέρυσιν ἐπὶ τῦ παρῳχημένυ ἤδη χρόνυ*, *ὅθεν ἐσχηματίσθη καὶ τὸ περυσινὸς*, *περσυνὸς*, *κατὰ τὸ* При́сный. *ἀλλὰ τῦτο μὲν θεωρεῖ τὴν ἐπὶ τὰ πρόσω ἰῦσαν καὶ πόῤῥω τείνυσαν τῦ χρόνου γραμμὴν*, *ὡς ἀπέραντον· τὸ δὲ πέρυσιν ἐμφαίνει τὸ πρὶν*, *τὸ κατόπιν καὶ ὀπίσω λελειμμένον*, *καὶ πεπερασμένον ἤδη τῦ χρόνυ μόριον. οὕτω καὶ τὸ πρότερον σημαίνει τό*, *τε πρὶν*, *καὶ τὸ προτέρω* = *προσωτέρω· καὶ τὸ πρόσθεν*, *εἰς τὸ πρόσθεν* (*ἔμπροσθεν*) = *πρόσω*, *καὶ οἱ πρόσθεν* (*οἱ πρότεροι*, *οἱ ὄπισθεν*). *πρβλ. λτ.* ante = *ἄντα*, *καὶ* abante, *ὅθεν Γλ.* avant, *καὶ* en avant, *Ἰτ.* avanti, *κτλ.*] 2, *γνήσιος*, *καὶ* При́снѣе, *γνησίως* (*καὶ τῦτο ἐκ τῦ πρύσιος* = *διαρκὴς*, *διαρκὲς δὲ τὸ γνήσιον*).

При́тча (*παραβολὴ*, *παροιμία*). *ἐκ τῦ* При-

шкнỳ = παρα - δεικνύω, οἷον ἐκ τῦ шкнỳ = шику, δείκω. [ὁ 'Ησύχ. ἔχει καὶ, τίξον, δεῖξον· ἴσως ἐκ τῦ κατά τινα διάλεκτον τείκω = δείκω, δ = τ, ὡς, πελιτνὸς, πελιδνὸς· οἶτνον, οἶδνον· πίδναμαι, πίτναμαι· πεδνηλισσὸς, πετνηλισσὸς· ἔδνος (ἐδανὸς), ἔτνος, κτλ. βλ· Пáду]. ἀ'ςε Прúшча=παράδειξις, παράδειγμα. βλ. καὶ Ткỳ.

Прò = πρὸ, καὶ = περὶ, ἐν συνθέσει. 'Εκ τῆς Прò, καὶ τὸ Прà, ἐν συνθέσει· οἷον, Прамáтерь, προμήτωρ. Пра́дѣдъ, Прапрадѣда, κτλ. (ὡς ἐκ τῦ πέρος, συγκοπ. πρὸς, πρὸ, λτ. pro· οὕτως ἐκ τῦ πέρα, Прà, καὶ πέραι, λτ. prae, κτλ.). βλ. Прè.

Прóкъ (ὑπόλοιπον. ὅθεν κέρδος). Прóчу (συντηρῶ, διατηρῶ, ἀποτίθημι)=πρόσσος, πρὸξ, πρόσω, πόῤῥω τίθεσθαι = ἀποθησαυρίζειν. βλ. τὸ συγγεν. Прóчій, Прó.

Простый, Прóстъ (ἁπλοῦς, ἀπόνηρος, ἰδιώτης, εὐήθης, ἀκαλλὴς, κοινὸς, ὁ προςυχὼν, συνήθ. πρόςυχος). Простотà (ἁπλότης). Прóсто (ἁπλῶς)=πρόσθιος, πρόσθος, πρόσθε(πρόσω= εὐθὲς, ἐπ' εὐθείας· ἀντιδιεςαλμένως πρὸς τὸ ςρεβλὸς, διεςραμμένος. ὡς τὸ ἁπλόη πρὸς τὸ διπλόη). Прóсти = ὀρθοὶ, - θὴ ('Εκκλ.) βλ. Прè, Прò.

Противъ (πρὸς, κατὰ, ἐναντίον, ἀντικρὺ). Противный, Противенъ (ἐναντίος, ἀντίος, ἀντίβιος) προτὶ. ὅθεν καὶ οἷον, προτίϜιος.

[ἐκ τῆς πρὸ, ὅθεν καὶ πρωῒ, πρώϊος (πρῶτος), πρότερος, προτέρω. οὕτω καὶ ἐκ τῆς πρὸς (πρόσος, πρόσσος), πρὸξ, πρόσω, πρόσοθε, πρόσθε, πρόσθιος, κτλ. Ὡσαύτως ἐσχημάτιςαι καὶ τὰ, ἐκ τῆς παρὰ, πάρος, πάροιθε· καὶ ἐκ τῆς περὶ, πέρις, πέριξ (περιξὸς), περισσός· καὶ ἐκ τῆς ὑπὲρ, ὕπερος, λτ. superus, ὑπερῷϊος, ὑπερῷος· ἐκ δὲ τȣ̃ superus τὸ superbus = superϜus, ϜὕπερϜος· ἢ τȣ̃το=Ϝυβερὸς, ὕβος, ὅθεν (ὕβερις), ὕβρις, κτλ.]. βλ. Прéдкій, Прéдъ.

Прóчій, чая, чее (λοιπὸς, πὴ, πὸν) πρόσος πρόσοθε, πρόσθε, πρόσθιος (ὁ ὄπισθεν=ὑπόλοιπος). ἐκ τῆς πρὸς, πρόσος, τὸ εὔχρηςον ἐπίῤῥημ. πρόσω (καὶ μεταθ. πόρσω, πόῤῥω)= Прóчъ (μακρὰν)=πρὸξ (βλ. ʽΡείμ. λ. πρόσω). συγγενὲς Прóкъ, Прò. βλ. καὶ Прúсный. τὸ δὲ λτ. caetera=καὶ ἕτερα, κ' ἕτερα (χ' ἕτερα).

Прошу̀ (δέομαι, αἰτῶ) πρόσσω, πρόζω, πρῴζω = προΐζω (ἐκ τῆς πρὸς, πρὸ, προΐ), προΐσσω, πρόζω, ὅθεν προΐξ, πρὸξ, πρύκος = πτωχὸς, λτ. procus, καὶ proco, -cor, καὶ preco, -cor, (βλ. ʽΡείμ. λ. πρὸξ)· Σερβ. Просим, Περσ. porsiden, Σνσκρτ. prashtum.

Прощáю (ἀφίημι, συγχωρῶ. ὅθεν Простѝ, πληθ. Простúте· καὶ Прощáй, Прощáите, =ἄφες, ἄφετε, συγχώρησον, ἀπόλυσον, -σατε· καὶ ἐπὶ ἀναχωρήσεως = ὑγίαινε, λτ. vale, ὡς, Γλ. adieu, Γρμ. lebe wohl), ὡς ἐκ τȣ̃ Про-

щу̀=λτ. parco (*φάρω*, *πέφαρκα· ὡς καὶ δρέω*, *δράω*, *δράκω*, *δέρκω*), *φάρκω*, *πάρκω* (*μεταθ. πράκω*, *μέλ. πάρξω*, *πράξω*, *πράσκω*, Прощу̀, *α=ο· ἀπάρμφ.* Проститú, *στ=σκ*, *βλ.* Остръ),=*φάρω*, Порю̀, *πάρω* (=*σχίζω*, *ῥήσσω*, *κόπτω*). *τὸ λτ.* parco, =*φείδομαι*, *φείδω*, *καὶ τȣ̃το*=*φίδω*, *φί(ν)δω*, *λτ.* findo, fido (*φίζω* = *φάζω*, *σφάζω*, *σπάζω*, *σπάω*, *ἐκ τȣ̃ φάω*=*πάω*, *ὅθεν καὶ τὰ*, *πάρω*, *φάρω. βλ. καὶ* Щажду̀). *Οἱ ἀπολύοντες φείδονται δι' οἶκτον, καὶ οἷον φείδȣσι* (*ῥήσσȣσι*) *τῶν λυομένων τȣ̀ς δεσμούς*. [*ὅθεν καὶ τὸ φείδεσθαι ἐπὶ φειδωλῶν, οἵ γε κωμῳδȣ̃νται τά τε ἄλλα, καὶ ὡς κυμινοπρίσαι* (*πρίζȣσι καὶ τὸν κύμινον*), *ἀκριβολογȣ́μενοι περὶ τὰς δαπάνας ἀνελευθέρως*]. *Πρὸς τὸ πάρω, φάρω ἀνήκει καὶ τὸ Γρμ.* sparen.

Пру̀ (*λακτίζω*, *θλίβω*, *σφίγγω*, *ἀπρμφ.* Пра́ти *ὡς ἐκ τȣ̃* Пра́ю· *καὶ* Перу̀, Пере́тъ) *πρέω* (*ὅθεν τὸ λτ.* premo· *ὡς ἐκ τȣ̃ τρέω*, *τρέμω*, tremo. *ἐκ τȣ̃*, *πρέω*, *πράω*, *καὶ τὰ πράθω*, *πρήθω*, *πρέθω*, *πέρθω*). *συγγεν. πρίω* (Брію, Брѣю. *βλ. παρακατιών*), *ὀνοματοποιΐα ἤχȣ θλιβομένων σωμάτων* (*βλ.* '*Ρειμ. λ. πρέω*)· *ὅθεν* По-пру̀, По-пира́ю, Попра́ть (*ἐπιπατῶ*, *καταπατῶ*, *πατῶ*)· *τὸ δὲ* Пира́ю *ὡς ἐκ τȣ̃* Пра́ю, *πράω*, *πρέω*, *μεταθ. πέρω*, Перу̀, *ὅθεν συνεκόπη*, *ἢ συνηρέθη τὸ* Пру̀ (*πρῶ*). *ὡς δὲ τὸ πρέω* (*πρίω*) *συμπίπτει μετὰ τȣ̃ πέρω*,

οὕτω καὶ τὸ Прŷ *πρὸς τὸ ἄῤῥητον* Пра́ю, *περάω*, Перŷ (*βλ.* Пра́ждный). Пра́ю *δὲ καὶ τὸ θέμα τῦ* Прягŷ, *φράγω* (*φράϜω*, *φράω*), *ὡς καὶ τὸ* Пру́г (Су-пру́гъ) *φαίνεται οἷον ἐκ τῦ* (Прŷ) Пру́гу, *ἀντὶ* Прягŷ (*βλ.* Пру́дъ). *ὥςε τὰ* Отъ-о-прŷ, *καὶ* (Пира́ю) Отъ-пира́ю (*ἀνοίγω*), За-пира́ю (*κλείω*) *ἐκ τῦ* Прŷ, *συμπίπτουσι καὶ μετὰ τῶν* (*ἐκφράϜω*) *ἐκφράγω*, *ἐκφράσσω*, *δια*(*ζα*)*φράσσω*, *κτλ. ἐκ τῦ* Пра́ю *φαίη τις καὶ τὸ* Па́ра, *δοκεῖ δὲ μᾶλλον ἐκ τῦ* Перŷ (*βλ.* Перу́нъ, Прѐ, Па́ра). *Τοῦ* Пра́ю (Прагŷ = *φράγω*) *παράγωγον δοκεῖ μοι καὶ τὸ* Пра́гъ (*βλ.* Поро́гъ. *πῤβλ. καὶ* Пра́хъ). *Τοῦ δὲ* Прŷ *συγγεν· τὸ* Прю̀, Прю́ся, (*ἐρίζω*, *μάχομαι*), *ἀπαρέμφ.* Прѣ́тися, *ὡς ἐκ τῦ* Прѣ́ю, *πρέω* = *πρίω*, *πρίομαι. ὅθεν* Прѧ̀ (*ἔρις*), *οἷον πρία* = *πρίσις.*

Пру́гъ (Пру́ги, Пру́жи, *πληθυντ. καὶ* Пружіе *ἀθροιςικῶς*, *ἀκρὶς*, *ἀκρίδες*) *βρῦχος*, *καὶ βρῦκος* (*βρῦγ-ος*), *καὶ βρόκος* (*'Ησύχ.*), *βροῦχοι. ἢ συγγ.* Прыга́ю· *ὡς τὸ Γλ.* sauterelle (*ἀκρὶς*) *ἐκ τῦ* sauter=salto, salio,=*Ϝάλλω*, *ἅλω*, (*ἅλλομαι*) *ἁλτὴρ*, *ἁλτικός.*

Пру́дъ (*σύρτις. 2, λίμνη κατασκευαςή*). Пру́дный (*τραχὺς*, *ἐπὶ σύρτεων θαλάσσης*, *ἢ ποταμῦ*). Пружŷ (*συνάγω τὸ ὕδωρ διακόπτων τὸν ῥῦν*) *οἷον*, *φρύζω*, *Ϝρύζω*, *ἀντὶ φράζω*, *φράσσω*, *Ϝράζω*, *Ϝράσσω*, = *ῥάζω*, *ῥάσσω*, *ῥήσσω· ὅθεν ῥάχος*, *ῥῆχος*, *Σ. ῥηχὸς*, *ῥηχὰ* (*νερὰ*),

καὶ Fράχος, βράχος, βράγος=σύρτις, ἕλος (*Ἡσύχ.*). *τὸ δὲ* Пружу̀ (*τὸ ζ=δ*, Пруду̀), Пру́д(*οἷον βρύδος,-δη*), *ὡς τὸ φράζω=φράδω, φράδη, κτλ. βλ. καὶ* Пря́жу. *ἔςι δὲ τῦ* Пру́д *ἀρχικώτατον θέμα τὸ* Пру̀. *ὡς καὶ τὸ* Супру́гъ (Пру́г) *ἐκ τῦ αὐτῦ* Пру̀ (Пра́ю), *ὅθεν* Прягу̀. *γ καὶ δ συγγενῆ τῦ ζ. ἕτερον δὲ τὸ Σλαβ.* Бру́дъ (*λῦμα*) = *φορυτός, ἐκ τῦ* Бреду̀, *πρήθω* (*περάθω*), *περάω, πέρω=φέρω, ὅθεν καὶ φόρω, φορύω, καὶ ἐκ συγκοπῆς φρέω*, (*οὕτω καὶ* Бру́дъ *ἀντὶ* Беру́дъ, *φερυτός. βλ.* Бреду̀, Беру̀, Бере́мя).

Прыгаю (*πηδάω, σκιρτῶ ὡς ἐκ τῦ* Прыгу) *βρύγω* (*βρύκω*), *βρύττω, Γρμ.* springen, Sprung. ,, *βρυάκτης, σκιρτητής.* (*ἐκ τῦ βρύω, βρύκω, βρύττω, β=F, ῥύω, ῥύγω, ἀντὶ Fρήγω, Fράγω, ῥάζω, ῥάσσω, ἀῤῥάσσω, βράσσω*). *συγγεν.* Брыка́ю.

Прыщу, Прыскаю, (*ἀναβρύω, ἐπὶ ὕδατος.* 2, *ἐνεργητ. φλύζω, βλύζω, πιτύζω, ψεκάζω ὑγρὸν*) *βρύζω = βλύζω. ἢ πρήζω=πρήσσω, πρήθω* (*ὡς ,, ἀνὰ ςόμα πρῆσσεν αἷμα*), *Γρμ.* sprützen, *Ἰτ.* spruzzare, sprizzare, *κτλ.* (*ὀνοματοποιΐα*)· *συγγεν.* Брызжу.

Прыщъ (*φλυζάκιον, ψυδράκιον, ἐξάνθημα*) *οἷον πρὺξ, φρὺξ, φλὺξ* (*λ=ρ. ὡς, βρύω, βλύω· γλώσσαργος, -σσαλγος*)=*φλύζαξ, ὅθεν φλυζάκιον* (*ἐκ τῦ φλύζω = φλυκτὶς = φύσκη, καὶ φύσκα, σκ=στ, λτ.* pusta, pustula, *φυσκα-*

λὶς, συνήθ. φυσκαλίδα)· ἢ μᾶλλον σὐγγεν. Прыщу. *ὡς ἐκ τȣ̃ πρήζω (πρήθω), πρηδὼν, πρῆσμα. βλ.* Прѣю.

Прѣ̀, Прѣ̀дъ *ἄλλαι γραφαὶ τȣ̃* Прѐ, Пре́дъ. *ὡς καὶ* Дрѣ̀во, Дре́во· Цѣ̀пь, Цепь· Чрезъ, Чрѣзъ· Чрѣпъ, Черепъ, *κτλ.* (ѣ=е *ἐν πολλαῖς λέξεσιν· ὅθεν καὶ* Вре́мя *ἐκ τȣ̃* Врѣ́ю, *εὑρίσκεται δὲ καὶ* Врѣ́ме *παρὰ Σέρβοις. βλ. Δοβρόβ.* 15.)

Прѣ́ю, (*ἱδρόω ἐν λȣτρῷ.* 2, *παφλάζω.* 3, *ςάζω, ἐπὶ ςέγης διαῤῥεȣ́σης*) *βρέω, ἀντὶ βρύω* (=*Fρέω, Fρύω*). *ἐκ τȣ̃ ἀρχαίȣ βρέω=βρύω* (=*Fρέω*) *φαίνεται καὶ τὸ φρέαρ=Fρέαρ* (*ἀντὶ ῥέος*), *ὡς ἐκ τȣ̃ βρύω, βρύσις. εἰμή γε τὸ* Прѣ́ю =*πρέω* (*πρωτότυπον τȣ̃ πρέθω, πρήθω, πρῆμι, πίμπρημι. βλ.* Прȣ̀)· *οὐμὴν*=Врѣ́ю (*φρέω φέρω = θέρω*). *βλ. καὶ* Прȣ̀.

Прю̀, *βλ.* Прȣ̀.

Прягȣ̀ (*συνδέω, ζευγνύω, συναρμόζω*) *φράγω=φράσσω· ὅθεν* Запряга́ю (*ὑποζεύγνυμι τοὺς ἵππȣς*). Сопряга́ю (*συζεύγνυμι*), *καὶ* Супру́гъ, *ὁ*, Супру́га, *ἡ* (*σύζυγος, σύνευνος. οἷον σύμφραγος, σύμφρακτος*), *ὡς λτ.* conjunx. *κτλ. τὸ θέμα* Пра́ю (*βλ.* Прȣ̀), *φράω, φράFω, φράγω* (*ῥάω, ῥάγω*). *ὅθεν καὶ τὸ* Пра́гъ, (*φράγ-ος, φραγὴ,-γμὸς*). *βλ. καὶ* Бре́гъ, Бе́регъ. (*φρέγω=φράγω. ὡς θέρω, θάρω, αἰολ. βλ.* Пру́дъ).

Пря́даю (*πηδῶ, ὡς ἐκ τȣ̃* Пря́ду, *σ-πράδω*)

σπάρδω (*σπ* = *σκ*) = *σκάρδω*, *σκάρθω*, *σκιρτῶ* (*ὡς καὶ σκάρω*, *σκαίρω* = *σπαίρω*, *σπάρω*, *σπάρ(δ)ω*, *ἀποβολῇ τȣ̃ σ*, *καὶ μεταθ*. *πράδω*) Пря́ду. *οὕτω παρενθέσει τȣ̃ δ*, *καὶ μεταθέσει ἅμα*, *πέπλασαι καὶ τὸ βραδὺς ἐκ τȣ̃ βαρὺς*=*βαρδὺς*, *λτ*. bardus = tardus, *βραδύς*. *ἐκ δὲ τȣ̃ βαρδὺς τὸ Σ*. *φαρδὺς*=*πλατὺς*, *ὡς λαγγὸς* = longus. *βλ*. Лу́гъ). Воспря́даю (*σπέρχομαι*, *σπεύδω*)· *καὶ* Воспряну̀ *ὡς ἐκ τȣ̃* Пряну̀ (*παρενθέσ*. н *ἀντὶ* д, *πράνω*), *σπάρνω*, *ὅθεν συνήθ*. *σπαρνῶ* = *σπάρω*, *σπαίρω*.

Пряду̀ (*νήθω*), *ἀπρ́μφ*. Пря́сти· *Γοτθ*. pradan = *πράττω* (*ἐνεργῶ*, *ἐργάζομαι*· *ὡς*, *ἔργω*, *ἔρδω*, *Ϝέρδω*, *γέρδω*, *ἐξαιρέτως*=*ὑφαίνω*. *βλ*. Бе́рдо). *ἐκ τȣ̃ πράττω*, *πράξω*, *καὶ τὸ πράσκω* (*πιπράσκω*). *τὸ θέμα*, *πέρω*, *περάθω*, *κτλ*. *τὸ Βομ*. pracugi=*πράσσω* (*ἐργάζομαι*). *βλ*. *καὶ* Пря́жа.

Пря́жу (*τηγανίζω*) *συγγ*. *φρύσσω* (*φρύζω*), *φρύγω* (*υ* = *α* = я· *ὡς*, *αἰολ*. *βυθὸς*=*βάθος*· *σύρξ*, *σάρξ*· *καὶ τὸ συνήθ*. *ταβέλιον*, *ταβέλια*, *ἐκ τȣ̃ ταβάλα*, *ταβῆλα*, *τὰ* (*'Ησύχ*. *λέξις περσική*· *ὅθεν καὶ τὸ 'Ισπαν*, atabal, *Γαλ*. atabale,-les, *κτλ*.). *ὥςε φρύγω* (*φρύζω*)=Пря́жу (*φράζω*). *καὶ ἄλλως δὲ φράζω*, *φράσσω*, *φρύσσω*, *φρύγω*, *φρίσσω*, *φρίγω*, *τύποι συγγενεῖς*· *ὅθεν τὸ λτ*. frigo (*φρίγω*), *Γλ*. frire = *φρύγω*. (*ἐκ τȣ̃ ῥάγω*, *ῥάσσω*, *βράσσω*, *βράζω*, *ῥίγω*, *ῥύγω*, *κτλ*. *βλ*. *'Ρείμ*. *λ*. *φρίσσω*, *καὶ φρύγω*). Пря́жмо, (*κολλυρὶς*, *λάγανον*,

Σ. λαλαγγίτα, τηγανίτα)=φρύγμα (φρύσμα), ὡς Σ. φρυγανία (ἄρτος φρυκτός).

Пря́жа, *καὶ* Пря́дь (*νῆμα*), *ἐκ τῦ* Пряду̀, *τῦτο δ' ἴσως μᾶλλον=βράδω=Fράδω=κράδω=ῥάδω (ῥάζω), Fράδος (κράδος), ῥαδανὸς, ῥοδανὸς. Σ. ῥοδάνη, τὸ παρ' ἄλλοις τζικρίκι (κρίκος), ὄργανον ᾧ νήθυσι. βλ. 'Ρείμ. λ. ῥάδιξ, ῥαδινός.*

Прямы́й, Пря́мъ (*εὐθὺς*). Пря́мо (*ἐπ' εὐθείας, εὐθὺ*)· Пря́мный (*ὁ ἀπέναντι ἐπ' εὐθείας κείμενος*) *πράμος=πρόμος. (ἐκ τῆς πρὸ, πρὰν, ὅθεν καὶ πραμνὸς ἐκ τῦ ἀχρήςυ πράμος, ὡς καὶ ἐκ τῦ πρόμος, προμνὸς, πρυμνός· καὶ ἐκ τῆς (πέρι) πρὶ, τὸ λτ.* pri, primus (*κυρίως ὁ προέχων, ὅθεν πρῶτος*). *βλ.* Пра́вый.

Пря́чу (*κρύπτω, ἀσφαλίζω· οἷον ἐκ τῦ* Пря́ту) *φράττω, φράσσω=φράγω· καὶ* Пря́сло, *φράξις, φραγμῦ μέρος. [ἐκ τῦ φράγω, μεταθ. φάργω, φάργνυμι, τὸ φαρκτὸς, ὅθεν καὶ τὸ λτ.* (farco) farcio, farctus]. *συγγεν.* Пряry̆.

Пти́ца (Птиц—, *πτήξ, πτάω. ὡς ἐκ τῦ πτώω, πτώξ), πτητὸν, πτηνὸν, πτηνὸς* = Птене́цъ, *καὶ ὑποκορ.* Пте́нчикъ, Пти́чищъ, *πτηνάριον, πτηνίδιον. Καρν.* тица, *ἀποβολ. τῦ π· ὡς, πτίλλω, τίλλω· πτισάνη*, ptisane, ***Γλ.*** tisane, *κτλ.*

Пу́га (*τὸ κάτω πλατὺ τοῦ ὠοῦ*) *πύγα, πυγή? (καθὰ καὶ Σ. τῦτο τὸ μέρος τῦ ὠῦ λέγεται κῶλος, μεταφορικῶς, ὡς τὸ ἕδρα). ἴσως*

συγγεν. Пу́къ· *ὡς καὶ τὸ πυγὴ.συγγεν. πύκα, πυκνὸς, λακων. πϑκός.*

Пуга́ю, Пужа́ю (*φοβίζω*) *φϑγάω* (*φουζάω*) = *φύγω, λτ.* fugo, fugio, (*ὡς ἐκ τϑ* Пугу̀), = *φέγω = φέβω, φοβέω. ἐκ τϑ φέω, φέϜω· Ϝ=γ, καὶ β. βλ.* Бѣгу̀. [*ἔςι δ', οἶμαι, καὶ αὐτὸ τὸ ἄῤῥητον φέω αἰολικὸν,=θέω=δέω, δείω, δείδω, δεδίσσω, (καθὰ καὶ ἐκ τϑ τρέω, τὰ, τρέχω, τρέμω· καὶ δρέω, δρέμω, δράμω, δράω, δράσκω, διδράσκω· καὶ θρέω, κτλ). τὸ δὲ θέω καὶ = σέω, σύω, θύω, σεύω, σέβω = θεύω, φεύω, φέβω, φεύγω, φύγω, κτλ. βλ. 'Ρείμ. λ. σύω*]. Пу́гало (*φόβητρον*) *οἷον φύγαλον, φυγαλέον· ὡς καὶ φυγαλέος, φυζαλέος, φυζηλὸς* = Пу́ганый, Пу́жаный, (*δειλὸς*), *καὶ φυζακινός. Εἰ δὲ βϑλει, παράβαλε τὸ θέμα πάω (ὅθεν καὶ παύω, φάβω,* paveo), *πέω, πύω· ὡς ἐκ τῶν ἤχων πα, πε, πυ. βλ. 'Ρείμ. λ. πάω*).

Пузы́рь (*κύςις ἢ ὑροδόχος.* 2, *ὕδατος πομφόλυξ.* 3, *φλάσκων*) *φοῦσιρ* (*ποῦσιρ*), *φύσιρ, δωρικ.* = (*φύσις*) *φύσιξ, φύσιγξ* (*φυσάω*) = *φύσκη, λτ.* vesica, *συνήθ. φοῦσκα* (*ἡ κύςις, καὶ ἡ πομφόλυξ. μεταφορικῶς δὲ καὶ ὁ φλάσκων, ὡς τὸ* (*πομφόλυξ*), *βομβόλυξ, βομβυλιὸς, βομβυλὶς, βομβύλη, κτλ. Καὶ τὸ φλάσκων δὲ ἐκ τϑ φλάζω, φλάω* (*λ.* flo, flare, *φυσῶ*), *φλασκίον, Γρμ.* Flasche, *κτλ. ὡς καὶ τὸ βομβύλη ἐκ τϑ βύω* (*βυβύω, βοβύω,*

βομβύω, βόμβος, βομβέω), ὅθεν καὶ βύζω, βυλλὸς, βυλλάω, λτ. bullio (ὀνοματοπ. ἐκ τῶν ἤχων βυ, βου, πυ, κτλ.). βλ. Пу́чу, Пупы́рь.

Пу́зо (κοιλία. 'Ρωσσ. κοινὸν) βύζα (βύζος), ὅθεν Σ. βυζὸ (μπυζὸ) = κόλπος (βαρβαρικώτερ. τζέπη). ἢ συγγ. Пу́чу.

Пу́каю (ῥήγνυμαι μετὰ κρότυ, λακέω) ὀνοματοποιΐα ἐκ τῦ Пук = πυκ, βυκ, βουκ, βου' ὡς, βυκάω, βύκω (βύω).

Пу́къ (δέμα, φάκελλος), Γρμ. Packe, 'Ιτ. paquetto, Γαλ. paquet = φακὸς, φαικὸς (ὅθεν φάκελλος, φαίκελος), λτ. fax, fascis, fasciculus. ἢ λτ. pagus = παγὸς, παγὸν, πακτὸν (ἐκ τῦ πάγω, καὶ πύγω, πὺξ, πυκὸς, πυκνὸς, πυκὸς, Пу́къ).

Пу́ло (ἀρχαῖον νόμισμα = λεπτὸν) συνήθ. φόλλα, φολλίον (φύλλα, φυλλίον, ὅθεν καὶ τὸ Τυρκ. pul)· ἐκ τῦ φολὶς = λεπὶς (ὡς τὸ λεπτόν). τὸ δὲ λτ. follis, = δωρικ. φόλλις, φόλλιξ = θόλλιξ, ο = υ, = θύλλιξ, θύλαξ, θύλακος (ὡς καὶ συνήθ. φύλακας, καὶ χαρτοφύλακας, τὸ χαρτοφόρον θυλάκιον). τὸ δὴ φόλλις, follis = βαλάντιον, σακκύλλιον (ὡς καὶ θυλὴ = πήρα. „ πτωχῶν θυλαὶ ἀεὶ κεναί. παροιμ. = πτωχῦ πήρα ὀ πίμπλαται. Καλλίμαχ.)· ὅθεν τὸ follis, καὶ ἐπὶ διωρισμένης χρημάτων ποσότητος· οἷον, decem folles (τυτές. pecuniæ) = δέκα σακκύλια, καὶ σακκῦλαι (καὶ πυγγία), ὡς λέγομεν συνήθως, ἐπὶ

διωρισμένης ποσότητος (πεντακοσίων γροσίων), „ δέκα σακκέλας γρόσια. οὕτω καὶ τὸ τȣρκικὸν kissè. *Τὴν δὲ φόλλαν, πρῶτον, φασὶν, ἐπὶ τȣ̃ μεγάλȣ Κωνςαντίνȣ εἰσαχθῆναι ὡς νόμισμα ἰσοδύναμον πρὸς τὸ Ῥωμαϊκὸν* sertorium (Gronov. de pecun. veter.). *βλ. καὶ Ῥειμ. λ. φολλὶς.*

Пýля, *πάλλα, λτ.* balla, *Γλ.* balle, *κτλ. υ=α. βλ.* Пряжу, *καὶ* Пýть.

Пуля́рка, *βλ.* Поля́рка.

Пýпъ (*ὀμφαλὸς*) *πρωτότυπον* (*οἶμαι*) *τȣ̃* Пупы́рь, *οἷον* (*πουφ-ὸς, ποφὸς*) = *πομφὸς, πομφόλυξ· „ πομφόλυξ=ὀμφαλὸς, ὡς ὁ τῆς ἀσπίδος, ὄγκος* (*Ἡσύχ.*). *ἐκ τȣ̃ πομφὸς, βομβὸς καὶ ὁ βομβὼν καὶ βουβὼν, διὰ τὸν ὄγκον. ὅθεν καὶ* (*βȣβωνιάω, βομβωνιάω*), *συνήθ. ἐν Θεσσαλίᾳ, βομβωνιάζω = οἰδαίνω· πρήζομαι, οὐ μόνον τȣ̀ς βουβῶνας, ἀλλὰ καὶ καθολικώτ. οἷον, ἐβομβώνιασε, καὶ βομβωνιασμένον πρόσωπον.* (*βλ. καὶ* Пузы́рь, *καὶ* Пчела̀). *ἢ ἐκ τȣ̃, ὀμφὸς ὅθεν ὀμφαλὸς* (*μεταθ. μοφὸς, μ=π, ποφός*). [*ἐκ τῆς ἀμπὶ, ἀμφὶ* (*=περὶ, τὸ πέριξ*), *ἀμβὶ* (*λτ.* amb—*ἐν συνθέσει, Γρμ.* umb), *ἀμφὶς, ἄμβις, ὅθεν καὶ ἄμβυξ, ἄμπυξ, ἄμβη, ἄμβων* (*ἄμβος, ὄμβος, ὀμφὸς*), *τὸ λτ.* umbo, umbilicus. *Ῥείμερ. βλ. καὶ* Adelung. *λ.* Nabel]. *βλ.* Пупы́рь.

Пупы́рь(*φλυκτὶς, πομφόλυξ*)*πέμφις*(*πέμφιξ,-γξ*), *πέμφιρ,* (*πέφιρ, πόφιρ*)=*πομφὸς*(*ποφὸς,-φὸρ*),

πομφόλυξ [=*βομβὸς, βομβόλυξ, βομβυλὶς· ἐκ τῦ βομβύω, βομβέω, βόμβος, αἰολικ. βόμβυς, λακωνικ. βόμβυρ. καὶ τῦτο παρὰ τὸ βόω, βύω,* (*ὅθεν βυλλὸς, ἀφ' ῦ τὸ λτ.* bulla, *βυλλάω,* bullio), *πεποιημένον ἐκ τῦ ἤχου βου, βὲβ* (*πὲπ,* Пу́п), *βο, βυ* (*ὅθεν καὶ βύζω· βλ.* Пу́каю, *κτλ.*), *βύβος, ἐξ' ῦ βουβὼν* (*βομβὼν*), *αἰολ. βύβυς* (*καὶ ὡς ἂν εἴποις, βυβὺρ,* Пупы́рь)=*βόβος, ὅθεν βόμβος, κατὰ παρένθεσιν τῦ μ, διὰ τὸν ἀρχαῖον ὄγκον καὶ ϛομφασμὸν* (*ὡς, ὄπη, ὄμπὴ, ὄμπνη, κτλ.*), *καὶ* (*β*=*π, καὶ φ*) *πόμβος, πομφὸς, ἡ ἐκ τῦ ἠχοῦντος ὑγροῦ ἀναδιδομένη φυσαλὶς· ὡς δ' ἐκ τοῦ ὄγκου τῦ πομφῦ μετηνέχθη ἡ λέξις καὶ εἰς ἄλλα σώματα παραπλήσια τῇ πομφόλυγι* (*βλ.* Пу́пъ), *ὡς καὶ τὸ λτ.* bulla· *καὶ ἡ τῆς συνηθ. βαμβὲλα* (*τὸ τῦ βάμβακος καλύκιον*)= *βομβυλὶς, βομβόλυξ*=*πομφόλυξ· καὶ* (*βόμβυξ, βομβύκιον*), *βομβὲκιον συνήθ. ὁ κάλυξ καθόλου, τὸ καὶ, παρ' ἄλλοις, βαβέλιον* (*βομβύλιον*).

Пуска́ю, Пуща́ю, *Σλβ.* Пущу̀, Пусти́ти (*ἀφίημι, ἀπολύω. οἷον ἐκ τῦ* Пусту̀) *τὸ προϛακτ.* Пустѝ, *'Ρωσσ.* Пу́сть = *ἄφες* (*βοηθητικὸν μετὰ τῶν προϛακτικῶν, ὡς τὸ τῆς συνηθ. ἂς* = *ἄφς* = *ἄφες. βλ. Μέρ. Α.*) *φαίνεται* = *φύσκω, φύξω, φύζω, φυζάω, φυσδάω* (*φυξάω, φυσκάω*) = *φύγω* (*ἐνεργητ. ὡς τὸ λτ.* fugo, fugare = *φυγαδεύω. ἐκ τῦ ἐνεργητ. φυ-*

ζάω τὸ παθητικὸν φυζηθέντες). ἔςι γέμην (ἢ μοι δοκεῖ) φύσδω, φύζω, φύξω, φύσκω =χύσδω, χύσκω =χύζω (ὅθεν χυςὸς =χυτὸς), χύδω, χύω [ὡς τὸ συνήθ. χυμάω, χυμῶ, χυμίζω, =ἀφίημι θέειν, ὁρμᾷν, ἐκχεῖσθαι δίκην ῥοῦ, καθὰ καὶ τὸ χέομαι (συνήθ. χύνομαι) =δίδομαι μετὰ προθυμίας καὶ ὁρμῆς, ὡς τὸ „ κεχυμένος εἰς τ' ἀφροδίσια, λτ. effusus, κτλ.]. Τὸ γοῦν φύζω, φύξω (φύξω, ξ = κσ = σκ, φύσκω, Пущу̀ καὶ φύζω, φύσδω, Пусту̀)=χύζω. [ὡς, ἐφύρη=ἐχυρὰ, ὄφις=ἔχις (ὄχις), καὶ λτ. fatisco =χατίσκω, χατίζω· fovea ἐκ τῦ φώϜω, φάω =χώω, χάω=φάω, φάϜω, favus=σχαδὼν· fundo, fudo=χύδω (χύω), καὶ ἄλλα ἐν οἷς φ=χ, ὡς π=κ]. αὐτὸ δὲ τὸ χύζω, χύω=χέω =χάω, χάζω=χωρεῖν, ἀναχωρεῖν, χάζεσθαι ποιῶ. βλ. Пу́стъ.

Пу́стъ, Пустый (ἔρημος, κενὸς). Пустыня (ἔρημος, ἡ). Пустошу̀ (ἐρημόω, πορθῶ), Γρμ. wüsten, wüste, Ἰτ. guastare, Γαλλ. gaster, ὅθεν gâter, λτ. vastare (de-vastare), vastus = χαςὸς, χ = φ = v, vasto (χάςω) = χάσδω, χάζω, χάω, χάος (=κενὸν), κτλ. (ἢ βάςὸς, βαςάω, βαςῶ = fero, auffero), ἀλλὰ τὸ πρῶτον πιθανώτερον. μαρτυρεῖ δὲ καὶ τὸ Пусти́ти, Пустѝ (βλ. Пуска́ю), συγγενὲς ὂν τῷ Пу́стъ. ὥςε καὶ τῦτο=φυςὸς (χυςός). βλ. καὶ Ῥείμ. λ. χαςὸς, καὶ βαςάζω.

Пу́ты (*ἁλύσεις, δεσμά· ὡς ἐκ τῦ ἑνικοῦ* Пу́тъ)· Пу́таю (*δεσμεύω, ἐμπλέκω*) *πεδάω, πέδη, πέδαι* (*οἷον ποδάω, πόδαι, ποῦς, ποδὸς, καὶ πυδὸς, ὅθεν πυδαρίζω· παρὰ τὸ πόω=πάω, βάω, βάδω. βλ.* Пу́ть, Пѣшій), *λτ.* pedio (impedio), pedica.

Пу́ть (*ὁδὸς, τρίβος*) *πάτος* (*α = υ, ὡς σάρξ, σύρξ· βύπτω, βάπτω· βύκχις, βακχὶς· πάλλα,* Пуля. *βλ. καὶ* Пря́жу). *οἷον, πύτος* (*ὡς τὸ αἰολ. βύθος, βυθὸς, βυσσὸς* [*βλ.* Пучи́на]=*βάθος, βάδω, βατῶ=πατῶ, πάτος, πάτω,* Паду̀), *Βομ.* paut. *πρβλ. Σκρ.* pâdu, *καὶ ἀρχ. Γρμ.* padde, pedde, Pfad, *πάτος, πέδον, βάδος,* Boden, *κτλ.*

Пу́хну (*οἰδαίνω, πρήζομαι. οἷον βύκνω*)=*βύκω· ,, βεβυκῶσθαι, πεπρῆσθαι* (*Ἡσύχ.*), *βλ. τὸ συγγεν.* Бу́хну.

Пу́хъ (*χνοῦς, πτίλον*) *φῦκος* (*ποῦχος, κ=χ. π=φ*) *συμφωνεῖ πρὸς τὸ φῦκος* (fucus, *τὸ βρύον, διὰ τὴν ὁμοιότητα πρὸς τὸ πτίλον. τὸ δὲ φῦκος ἐκ τῦ φύω. οὕτω καὶ* Мохна̀, *τὰ ἐπὶ τῶν ποδῶν τῶν ὀρνίθων πτίλα, ἐκ τῦ* Мо́хъ=*μῦσχος, τὸ φῦκος. βλ.* Мо́хъ). *εἴη δ' ἂν μᾶλλον τὸ* Пу́хъ *ἐκ τῦ* Пу́хну (Пу́ху, *βύκω, οἷον βύκος, βύχος, διὰ τὸ οἴδημα τῶν πτερῶν*).

Пучи́на (*δίνη, βυθὸς, πόντος, πέλαγος, ὡς ἐκ τῦ* Пучи́нъ=Пути́нъ) (*βυσσὴν*) *βυσσὸς* [=*βυθὸς, βυθμὴν, πυθμὴν, αἰολικ. υ=α. ἐκ τοῦ βάθος, βένθος· ὡς καὶ πόντος*= (*πίν-*

δος) λτ. fundus, funda, πύνδαξ. καὶ πυτίνη, Βμ. putna=βωτίνη, βύτις, βῦτις, Γρ. Butte, κτλ.]. βλ. Пу́ть καὶ Пу́чу.

Пу́чу (ἐξοιδαίνω) φύσσω, (φύζω), φύσω=φυσάω, συγγεν. Пыщу̀, ы=υ, καὶ υ=ου. τὸ δὲ Пучи́на ἐκ, οἶμαι, παρὰ τὸ Пу́чу (οἰδαίνω) ὡς, οἶδμα λίμνης, πόντυ, κτλ.]

Пу́шка (πυροβόλον, τὸ συνήθ. κανόνιον, Γλ. canon) συγγεν. φάζω, φαύζω, φώσκω (φώσκη). ἢ πιθανώτερ. ὡς ἐκ τῦ Пу́ша=φύσσα, (φύσκα) παρὰ τὸ φυσάω. ὡς „ φλὸξ ἰεῖσα φύσαν πυρός (Ὁμήρ. ὕμν. β, 114), παρὰ τὸ Пушу̀, ἀντὶ Пышу̀ (φυσσῶ, φυσσῶ, φυσῶ, φύω, πύω, ὅθεν καὶ τὸ πῦρ.).

Пха́ю, Ῥωσσ. Пиха́ю (τρίβω, ὠθῶ) πσάω, ψάω (χ = ш = σ) = ψέω, ψίω, ψώω, ψώγω, ψάχω, κτλ. ὅθεν, Пшено̀, καὶ Пшени́ца. (τὸ Ῥωσσ. Пиха́ю, κατὰ παρένθεσιν τῦ и· ὡς τὸ е ἐν τῷ Песо́къ).

Пчела̀ (μέλισσα· ψελὰ) = ψιλὰ = ψιλὸς (ὡς ψύλλα = ψύλλος). „ ψιλὸς, πτηνὸν· ψίλον, πτερὸν. Δωρικῶς (Παυσαν. καὶ Ἡσύχ. βλ. καὶ Ῥείμ. λ. ψίλαξ, καὶ ψάω· τὰ δὲ ψέλλω, ψίλλω, ψύλλω, συγγενῆ· καὶ τὸ ψίλλω = πτίλλω = τίλλω· καὶ ψίλον=πτίλον· ψ=πτ). Ἐν ἀρχαίοις κώδηξι, καὶ Бчла̀ (б=п)· κατὰ δὲ Δοβρόβισκ. ὀνοματοποιΐα ὡς ἐκ τῦ βόμβου бъч,=βύζ. [κατὰ τὸ, βύζα, καὶ βύας, ὁ βῦφος (βῦβος, βύβος, βύϝας) καὶ ὁ (ἐκ

τῦ βύω, βομβύω,-βύλω) βόμβυλος, ἡ βομβυλιὸς, συνήθ. βόμβολας, βόμβονας· καὶ βοβόλας, βαβόλας· τὸ δὲ βομβύω, καὶ βομβάω, -βαίνω (ὅθεν Σ. ἐν Θετταλ. βομβονίζει =βροντᾷ), καὶ βομβάλω=βομβέω]· βομβεῖ δὲ δήπου „ χ᾽ ἁ βομβεῦσα μέλισσα (Θεόκρ.).

Пшени́ца (σῖτος· ὡς ἐκ τοῦ Пшенà) ψαίνα, ψαινὶς, ψάνη (ὅθεν καὶ ψάμμος)=ψάμμη, ψωμός. [ψάω, ψώω, ψαίω, ψαίνω, ψαίνημι, ψαινύσσω = ψωμίζω (κυρίως = ψώχω, τρίβω. βλ. Пхáю). οὕτω καὶ τὸ λτ. triticum, ὁ σῖτος, ἐκ τῦ tero (τέρω = τρίω, τρίβω, ὅθεν παρακ.) trivi, tritum = (τριτὸν) τριπτὸν, τετριμμένον, ἠλοημένον, trituratum]. τὸ δὲ ψάνη τῆς συνηθ. παρὰ Πελοποννησίοις (ἡ εὔστρα, στάχεις φρυκτοὶ) = ἐψάνη, ἐψανὸς, νὴ, νὸν. βλ. Лапшà). Пшенò Сарачи́нское, ψαινὸν (σῖτος) Σαρακηνικὸν = ὄρυζα. ἐκ τῦ triticum Saracenicum (εἶδος σιτηρῦ). βλ. Пхáю.

Пылáю (ἀνάπτω, ἀναφλέγομαι· ὡς ἐκ τῦ Пылỳ, συγγ. Палю̀, οἷον φύλω, φυλάω)=φλύω, φλυάω, τὸ δὲ φλύω = φλέω, φλέγω· „ ζῶντας περιφλύει=φλέγει (Ἀριστφν). Пы́лъ (φύλ-, φλύ-ος) = φλόξ. ὅθεν καὶ Пы́ль (κόνις, ὡς φλεκτή· καθὰ καὶ ἐκ τῦ κάω, καίω, κέω, κένω, κόνις) οἷον πήλη = πάλη, πρωτότυπ. τῦ παιπάλη ἐκ τῦ πάλω. (βλ. Пéпелъ). πρβλ. καὶ τὸ λτ. pulvis. [πάλλω, ἤτοι πάλω=πλάω,

βλάω, φλάω, φλέω, φλέγω, πλέω, κτλ. συγγενῆ· ἐν πᾶσι γὰρ τέτοις ἐπικρατεῖ κινήσεως ἰδέα συνημμένης μετὰ ποιȣ̃ τινος τόνȣ, ὡς φύσης πυρὸς („*τὸ δὲ πῦρ οἷον πνεύματός τις φύσις. 'Αριςοτ.*), *πατάγȣ πνευμάτων, ῥοίζȣ ῥοῆς, βολῆς, κτλ. βλ. τὸν σοφὸν 'Ρείμερ. λ. πλάω, φλέω, κτλ.*].

Пы́ль, *βλ.* Пыла́ю.

Пыре́й (*πολύγωνον*, triticum repens) *πυρὸς*.

Пы́ро (*ὄλυρα. 'Ιζεκ. β, 9. ἢ ἄρακος*, горохъ). *πυρὸς·* (*οὐκ = σπεῖρον, Σ. σπειρίον*). *ἢ φὰρ, φαρὸς, λτ.* far, *ὅθεν* farina.

Пыря́ю (*κερατίζω, λακτίζω, βάλλω, ῥίπτω.*) *περάω = πείρω (πέρω). παρὰ τὸ* Прѹ̀, Пра́ю, Пира́ю, *καὶ* Пыря́ю· ы = и. *βλ.* Прѹ̀.

Пыта́ю (*πειρῶμαι, δοκιμάζω, βασανίζω, ὡς ἐκ τȣ̃* Пы́тку) *πύθω, μαι, Σλοβ.* pjtamse. [*πύνθω, πυνθάνω,-νομαι. ἐκ δὲ τοῦ πύθω, τὸ πεύθω,-θομαι, ὡς, φύγω, φεύγω· ἐλύθω, ἐλεύθω. αὐτὸ δὲ τὸ πύθω ἐκ τȣ̃ πύω, πάω, πάhω* (subolet mihi) = Пахнѹ̀, Па́шу. *ὡς καὶ τὸ αἴσθω, αἴσθο- ἐκ τȣ̃ ἀΐω, αἴω· ὥςε καὶ τὸ* Пы́тку *συγγεν.* Пышѹ̀, *φυσσῶ, φύω, πύω*]. *ἢ πήθω, πάθω,* (*ἐκ τοῦ πάω, πάτω,* Падѹ̀ = *πλήσσω· ὅθεν καὶ πέθω, πείθω, βλ. 'Ρείμερ. λ. πάσχω.*)

Пышѹ̀ (*ἐπὶ φλογὸς ἐκτεινομένης καὶ πυρώσεως σφοδρᾶς*) *φύσσω, φυσῶ* (*βλ.* Пу́шка, *καὶ* Пыщѹ̀).

Пыхчѹ̀ (*πνέω σφοδρῶς, φυσῶ, μύζω δι' ὀργὴν*) *φυσσῶ* (*οἷον φυξῶ, φυκσῶ· ὡς ἐκ*

τȣ̃ φύζω), φυσῶ, φυσιῶ. Пыха, φύσσα (φυσίωσις), χ = ш. βλ. τὸ συγγενὲς Пыщу̀.

Пыщу̀, φυσῶ, φυσσῶ. [πύω, φύω, τόνοι πνοῆς. ἐκ τȣ̃ πύω, πύνω, μεταθ. πνύω, τὸ πνεύω, πνέω· ἐκ δὲ τȣ̃ φύω (πύω, πῦρ) φύσω, τὸ φυσάω, φυσῶ. (καὶ κατὰ πύκνωσιν τȣ̃ συριςικοῦ σ, οἷον φύσσω, φύζω, φύσδω, Пыщу̀, Γρμ. pusten (blasen) κτλ.]. Пы́шный (ὡς ἐκ τȣ̃ Пы́шенъ) φυσῶν, φυσιῶν (πεφυσιωμένος, ὑπερήφανος, ὀγκώδης, πολυδάπανος, κτλ.). βλ. Па́хну, Пашу̀.

Пыю̀, = Пію̀, βλ. Пою̀.

Пѣгі́й (ποικίλος, ἐπὶ ἵππου μελαίνας, ἢ καὶ ἄλλȣ χρώματος κηλῖδας ςρογγύλας ἔχοντος εἰς δέρμα λευκὸν) πηγὸς, Γαλ. pie. [Τὸ „ κῦμα, πηγὸν, (Ὀδ. Ε. 238)=κῦμα τρόφι, καὶ τροφόεν (Ἰλ. Λ, 307)=εὔτραφὲς, μέγα· ὅθεν καὶ τὸ, ἵππους πηγοὺς (Ἰλ. Ι, 126) ἡρμήνευσαν εὐτραφεῖς, εὐπαγεῖς, μεγάλους, ἐκ τȣ̃ πήγω, πάγω, παγὸς, ὅθεν καὶ τὸ παχὺς = παχὸς), καθὰ καὶ τὸ „ ἀρνειῷ πηγεσιμάλλῳ (Ἰλ. Γ) = δασυμάλλῳ, πηκτοὺς καὶ εὐτραφεῖς μαλλὸς ἔχοντι. Ἀλλά τινες τῶν σχολιαςῶν ἐξέλαβον τὸ πηγὸς καὶ ἐπὶ χρώματος = μέλας, οἱ δὲ τȣ̃μπαλιν, = λευκὸς, ὅθεν καὶ πηγὸς = πεπηγμένον ὕλας (τὸ καὶ πάγος) ὡς λευκὸν καὶ πάγου ὅμοιον (Στράτων παρ' Ἀθην. Θ, σελ. 383. πρὸς δ' παραβάλλουσι τὸ Γρμ. Pökel, ἀρχαιότ. piechel; Ἀγγλ.

pikle=ἄλας, ἄλμη. βλ. Adelung). καὶ „πλόκαμος πηγὸς = λευκὸς (Λυκόφρ.). ὁ δ' αὖ Καλλίμαχος εἶπε „κύνας ἥμισυ πηγὰς" ὅπερ οἱ μὲν τῶν ἑλληνιςῶν semialbos (ἡμιλεύκους), οἱ δὲ, semenigros (ἡμιμέλανας) μετέφρασαν. Ἀλλὰ τὸ Пѣгїй (Пѣг) ἀποδείκνυσι τὸ πηγὸς (ἐπὶ χρώματος) = ποικίλος, ψαρὸς, ἢ λευκομέλας· ὅθεν ἐξελήφθη ἡ λέξις εἰς δύω παντάπασιν ἐναντίας σημασίας, τοῦ τε λευκοῦ, καὶ τοῦ μέλανος· ὡς καὶ τὸ πέλλος, ἢ πελλὸς=πολιὸς (λευκὸς), καὶ=πέλιος, πελιδνὸς, pullus, fuscus, lividus. Γερμ. schwärzlich· ἐκ τοῦ πέλος, πελὸς, συγγενὲς (κέλος, κέλας) κελαινὸς, μέλας, παρὰ τὸ ἑλὸς, ὀλὸς (θολὸς, ἔλας, εἴλας, μετὰ τῶν πνευματισμῶν π, κ, θ, μ.). Τοιαύτη τις ἐναντίωσις φαίνεται καὶ ἐν τοῖς παρὰ τὸ Пѣгїй παραγώγοις. τὸ μὲν γὰρ Пѣжина σημαίνει μελανίαν, κηλῖδα ἐπὶ δέρματος λευκοῦ, τὰ δὲ σύνθετα Рыжепѣгїй (ῥουσιόπηγος, ξανθόπηγος), Вороиопѣгїй (μελανόπηγος), Гнѣдопѣгїй (πυῤῥόπηγος) σημαίνουσιν ἵππον ξανθὰς, ἢ πυῤῥὰς κηλῖδας ἔχοντα ἐπὶ δέρματος τὸ ἔδαφος λευκοῦ, ὅπου τὸ Пѣгїй, πηγὸς, ἐκλαμβάνεται = λευκός. Τὸ δ' αὖ ποικίλος σοφῶς ὁ σοφὸς Ῥείμερος ἐτυμολογεῖ παρὰ τὸ πείκω (πέποικα, πέκω, πόκος, καὶ ποκή. ὡς ἐκ τοῦ ὀργὴ, ὀργίλος). ὁ δὲ Ed. S. εἰς Λεννέπ. (observ. ad stirpes ling. Graec.) ὑπέθετο τὸ ποικίλος καὶ οἷον ἐκ τοῦ (πέκω)

πὸκις, ποῖκις, ἀλλὰ τȣ̃το ȣ̓κ ἂν οἶμαι παραβαλεῖν πρὸς τὸ Пѣгъ, *ὡς ȣ̓δὲ τὸ* Пѣгъ, *παρὰ τὸ* Пекỳ, Пекýся *φαίη τις ἂν εἰκότως παρῆχθαι*].

Пѣ́на (*ἀφρὸς*) *φαίνα, φαινὴ, φαινὸς* = *φανὸς* = *φαλὸς* (*λευκὸς, ὅθεν φαλαρὸς, φαληριόων*=*ἀφρίζων.*) [*'Εκ τȣ̃* (*φάω*) *φάνω, φανὸς, καὶ φάλω, φαλὸς, ἐξ ȣ̃ μεταθέσει τὸ ἀλφὸς, ἄλφος, λτ.* albus, *καὶ λ* = *ρ, ἀῤφὸς, παρ' ȣ̃ πάλιν μεταθέσει τὸ ἀφρός. 'Εκ δὲ τȣ̃ ἀφρὸς, ἄφρος* (*ψιλώτερον, ἄπρος*) *τὸ τῆς Σ. ἄσπρος* = *λευκὸς* (*παρενθέσ. τȣ̃ σ πρὸ τȣ̃ π*). *ἢ μᾶλλον ἐκ τȣ̃ φαλὸς, φαρὸς, σφαρὸς* (*μετὰ τȣ̃ πνευματισμȣ̃ σ, ὡς φάραξ, φάραγος, σφάραγος, Σ. σπάραχνον*), *μεταθ. ἄσφρος, ἄσπρος. 'Εκ τȣ̃ ἀρφὸς* (*ἀρβὸς*) *καὶ τὸ ἀργὸς* (*ὁ λευκὸς· ὅθεν ἄργυρος· τὸ γὰρ γ* = *β* = *φ· ὡς, τόργος,* corvus). *Τὸ δὲ φάνω, φάλω*=*φάω, Ϝάω, ἄω, ἕω, ὅθεν ἀὼς, ἕως, ἄλω, ἕλω, ἕλη, ἕλας, σέλας, ἄλιος, ἥλιος, ἐλάνα, σελάνα, κτλ. ὥςε τὰ* (*παρὰ τὸ φάω, φάλω*) *ἀφρὸς, ἄσπρος, ἀρφὸς, ἀλφὸς,* albus, *ἀργὸς*=*τῷ λευκὸς, παρὰ τȣ̃ λεύω, λαύω, λεύσσω, λάβω, λάμπω· ἀμέλει τοι τὰ πάντα* = *λαμπρὸς, φωτεινός. βλ. καὶ* Бѣлый]. Пѣ́ню (*ἀφρίζω*) *φαίνω, φάνω*=*φάλω, φαλάω* (*ἀφρίζω, λευκανθίζω*). *ὅθεν καὶ* Пѣнка (*ἡ γραῦς, ὁ ἐπίπαγος τȣ̃ γάλακτος καὶ τῆς ἀθάρας,*

ὡς ἐπιπολάζων ἀφρός· ἐκ τῦ Пѣна, ὡς ἐκ τῦ φαίνω, φαίναξ, φαινάκη, φενάκη).

Пѣстунъ (παιδαγωγός). Пѣстую (παιδαγωγῶ) ἐκ τῦ παῖς παιδὸς (παισδύω), παιδεύω, παιδευτής.

Пѣтýхъ, Σλαβ. Пѣтель (ἀλέκτωρ) ἐκ τῦ Пою (ἄδω), ἀπρ̀μφ. Пѣти (ὡς ἐκ τῦ Пѣю=φαίω, φάω, φόω, βόω, βάω, βάζω, βάσκω=ἄω, ἀΐω, Ϝαίω, ἀΐω, αὔω, ἀΰω, ἀΰσσω, κτλ.) οἷον φαίτης, φάτης (βώτης, ὡς βῶσαι=βοῆσαι) βόης, ἠπύτης. ὡς τὰ, ὀρθροβόας, ἠρισάλπιγξ (διὰ τὴν βοὴν, αὐδὴν, ᾠδὴν τῦ ἀλέκτορος).

Пѣшій, Пѣшъ, πεζὸς, καὶ Пѣшечъ, πέζιξ, πεζίτης (πεζοπόρος). Пѣхóта, πεζικὸν (ш=χ. ὡς ἐκ τῦ Пѣх). Пѣшкóмъ (πεζῇ) πεζικῶς, λτ. pedatim, pedes, 'Ιτ. pedone, Γλ. piéton, ἐκ τῦ πέζα=(πὲς, πέω, πόω, πόος) ποῦς, ποδὸς, λτ. pes, pedis, Γρμ. Fuss, καὶ Σνσκρ. pad, pode, Περ. pah, pai, κτλ. τὸ δὲ Γλ. patte, 'Ισπαν. patta=ποῦς κτήνους. βλ. καὶ Пятà.

Пя́дь, (σπιθαμὴ) σπάδη=σπιδὴ (ἐκ τῦ σπίζω σπίδω, σπιδὴς, σπιθὴς, ὅθεν καὶ τὸ σπιθαμή)· τὸ δὲ σπίζω=σπάζω, σπάω, πάω, Пя́ю, ἀπαρ̀μφ. Пя́ти (βλ. Пнỳ, Пинỳ), σπέω, (σπένω) σπάνω, Γρμ. spannen, =τείνειν, ἐκτείνειν, ὅθεν καὶ Spanne (σπιθαμὴ), λτ. spithama, συνήθ. πιθαμὴ (χωρὶς σ, ὡς καὶ τὸ τέγος, ςέγος). ἔςι δὴ κυρίως ἐκ τῦ πρώτυ θέματος

πάω, Пяю· *ὅθεν τὸ σπάω, διὸ καὶ παδὴ, πάδη*, Пядъ, *ἀντὶ σπαδὴ=σπιδή· καὶ Χρύσιππος δὲ παρ' Ἐτυμολόγῳ τὴν σπιθαμὴν ἔλεγεν ὠνομάσθαι διὰ τὸ ἀποσπᾶσθαι τὴν ὅλην χεῖρα· ἰδίως δὲ διὰ τὸ θαμὰ σπίζεσθαι τὰς δακτύλας, ὡς ἠτυμολόγησεν ὁ Εὐςάθιος. βλ. καὶ* Пяпь *πρὸς τὸ τέλος· Ἐκ τῦ* Пядь *καὶ* Мужь *ἔπλασεν εὐφυῶς ἡ Βοεμικὴ τὸ σύνθετον* pidimuzlijk (*νάννος*), *οἷον σπιθαμανδράριον, σπιθαμανθρωπίσκος, ὡς τὰ ἁπλᾶ ἑλληνικὰ, σπιθαμιαῖος, πυγμαῖος, λτ.* pumilio (*ἐκ τῦ λακωνικ. πῦμμα = πυγμή*) *οἷον πυγμαλὸς* (*τὸ δὲ Πυγμαλίων ἐπ' ἄλλης σημασίας = Σ. γρονθᾶς. Γρμ.* fäustel)· *καὶ τὸ τῆς συνηθείας γροθάριον* (*γρόνθου ἴσον*).

Пялю (*ἐκτείνω, τείνω*), *συγγεν.* Пну [*οἷον ἐκ τῦ* Пяю, Пяну, *ὡς τὸ* Пину· *καὶ ν = λ.* (*ὡς*, Бóлъ, *πόν-ος*), Пялю, *οἷον σπάλω, ἀντὶ σπάνω, σπάω*].

Пясть (*γρόνθος· πάστ*) = *πὰξ = πὺξ* (*α = υ· καὶ στ = σκ = κσ = ξ*), *πυγμή, λτ.* pugnus = *πυκνὸς* (*ἐκ τῦ πάω, πύω, πύγω, πύκω, πυκὸς πὺξ, πέπυγμαι, πυγμή*), *Ἰτ.* pugno, *Γλ.* poing, *Γρμ.* Faust, *Κτσξ.* fuust, *Ὀλ.* vuyst, *Ἀγσξ.* fyst, *Ἀγγ.* fist. (*βλ.* Adelung, *λ.* Faust). *Βοεμ.* piest, *Πολ.* pięść, *Κροτ.* peszt, *Καρν.* pest, *Σερβ.* Песница.

Пята (*πτέρνα*). Пячу, Пятить (*ἀπωθῶ εἰς τὰ ὀπίσω, πτερνίζω*). *πάζω, πάσσω = πάτω, πάτος* (*πά-*

τα, = *πατὼν* = *πέλμα*, *Γλ.* paton), *συνήϑ.* *πατῦνα* (*πρβλ.* *καὶ* patta, patte. *βλ.* Пѣшій), *ὡς πέδα*, *πέζα* (*καὶ τὸ Σκτ.* pad = *πῦς*, *ποδὸς*). *ἐκ τῦ πέτω*, = *πάτω*, *πατῶ*, *βατῶ*, *βάδω*, *βάδος*, *πάτος*, *βάω*, *πάω*. *βλ.* Пу́ть, *καὶ* *'Ρείμ. λ. πάω*). *Τὸ δὲ πτέρνα ἐκ τῦ πέρνα* (*περόνη*, *πέρω*, *κατὰ παρένϑεσιν τῦ τ*, *ὡς πόλις*, *πτόλις*), *ὅϑεν λτ.* perna. *καὶ τὸ Γρμ.* Ferse, *ἐκ τῦ* fahren = *πόρειν*, *πορεύειν*, *περᾶν*, *πέρω* (Adelung). *βλ.* Па́ду, *καὶ* Пѣшій.

Пятно̀ (*κηλὶς*) *πατηνὸν*, *πάτημα*, *πάτος* (*πηλὸς ῥύπος*, *κόπρος*. *'Ησύχ.*). Пятна́ю (*κηλιδόω*· *ἐπιβάλλω τύπωμα*, *σφραγίζω*) *πάτος*, *πατέω*, Пятна́ю, (*οἷον πατνῶ*, *πατῶ*, *πάτω*· *καὶ* Пятно̀ *ὡς ἐκ τῦ* Пято̀· *ὡς* Окно̀, *ἐκ τῦ* О́ко. *οὕτω καὶ ἐκ τῦ πίτω*, *πιτνῶ*). *βλ.* Пя́та̀.

Пя́ть, *πέντε* (*χωρὶς τῦ ν*, *ὡς* Мя́тва, Мя́та = mentha, *μένϑα*· Ля́ща, *ὡς ἐκ τῦ* Лящ = lens, lentis· Па́-мять (*ἐκ τῦ* По́мню) = mens, mentis), *παρὰ Σέρβ. καὶ* Пѣть (*ὡς καὶ*, мѐ, пѐ, сѐ = мя̀, пя̀, ся̀· Ѣзыкъ, *ἀντὶ* язык, *κτλ.* Ѣ = ε = я = α· *ὡς καὶ μάγαρον*, *μέγαρον*· *γὰ γὲ*. *κτλ.*) *οἷον πέτε*, *πάτε*. *Καρν.* pet, *Πολ.* pięc, *'Ιλλυρ.* peet, *Λετ.* peczi, *κτλ.* *αἰολικ.* *πέμπε*· *ὅϑεν* (*π* = *κ* = *λτ.* q.) quinque (*'Ιτ.* cinque, *Γλ.* cinq, *'Ισπ.* cinco), *καὶ* (*π* = *φ*) *Γρμ.* fünf, *κοινῶς* fümf, *Γοτϑ.* fimf, *'Ισλ.* fimm, *'Αγγ.* five, *'Ολ.* vuf, *Σβ. καὶ Δαν.* fem, *κτλ.* *'Ινδικ.* penschu, *Περσ.* peng, pentz,

καὶ Τȣρκ. bess. κτλ. Пятерня̀, πεντὰς, συνήθ. πεντάρα (καὶ ἡ δρὰξ, διὰ τὸ πενταδάκτυλον). Пята́къ (νόμισμα πέντε κοπικίων, ὡς τὸ συνήθ. πεντάρι), ὅθεν καὶ ἡ συνήθ. πατάκα (ὡς τὸ πένταχα, πενταχῆ, ἐκ τȣ͂ ἀχρήςȣ πενταχὸς, χὴ, χὸν, ὅθεν καὶ πενταχῶς). Пя́тница, καὶ Σλαβ. Пято́къ, ἡ Παρασκευὴ τῆς ἑβδομάδος, ὡς πέμπτη ἀπὸ τῆς πρώτης τῶν ἐργασίμων ἡμερῶν. Ἡμὲν γὰρ Κυριακὴ, Недѣля = ἀργία (βλ. Дѣло), ἡ δὲ καθ' ἡμᾶς Δευτέρα τῆς Ἑβδομάδος, По-недѣльникъ = ἡ μετὰ τὴν ἀργίαν, ἡ ὑςεραία (οἷον μετάργιος)=μεθέορτος. ἡ δὲ τρίτη, Вто́рникъ (ἐκ τȣ͂ Второ́й) = δευτερεύουσα, ὡς δευτέρα δηλονότι ἀπὸ τῆς πρώτης τῆς ἐργασίμου, τῆς καθ' ἡμᾶς δευτέρας. ἡ δὲ παρ' ἡμῖν Τετρὰς (Τετράδη), παρὰ τοῖς Σλαβονικοῖς λαοῖς, Середà = μέση (ὡς μέση τῆς ἑβδομάδος· καὶ παρὰ Γρμ. Mittelwoche, οἷον μεσεβδομαία, ὡς καὶ συνήθως τὸ μέσον τῆς ἑβδομάδος λέγομεν μεσοβδόμαδον)· ἡ δὲ παρ' Ἕλλησι Πέμπτη, κατὰ τȣ̀ς Σλάβονας Четверто́къ = τεταρταία (ὡς τετάρτη τῶν ἐργασίμων ἡμερῶν)· καὶ ἡ Παρασκευὴ, Пя́тница, Пято́къ=πεμπταία, πέμπτη. τὸ δὲ Σάββατον καὶ παρ' ἐκείνοις Субо́тъ. Σημείωσαι δὲ καὶ τῶν τῆς ἑβδομάδος ἡμερῶν τὰ Σλαβονικὰ ὀνόματα σύμφωνα ὄντα τοῖς Ἑλληνικοῖς, ὡς ἀριθμητικὰ, κἂν δοκῆ πως

διαφωνῦντα τῇ τάξει τῶν ἀριθμῶν. Αἴτιον δὲ ταύτης τῆς διαφορᾶς ἡγούμεθα τόδε· οἱ μὲν γὰρ Ἕλληνες ἀριθμοῦσι πρώτην τῆς ἑβδομάδος τὴν Κυριακὴν, ὡς καὶ ἐν τοῖς ἱεροῖς Εὐαγγελίοις ὠνόμαςαι „ μία (πρώτη) σαββάτων (Ματθ. 28), καὶ δὴ καὶ κατὰ τὸ τῆς Γενεσεως ἐκεῖνο „ ἐγένετο πρωΐ ἡμέρα μία (πρώτη)· ὅθεν καὶ δευτέρα, καὶ τρίτη, καὶ ἐφεξῆς μέχρι τῦ Σαββάτου, ὅ ἐςὶ κατάπαυσις, ἢ ἀργία. Οἱ δὲ Σλάβονες, ἐπειδήπερ ἡ τῦ Χριςῦ Ἐκκλησία τὴν τῦ ἑβραϊκοῦ Σαββάτυ αργίαν μετέταξεν εἰς τὴν ἡμέραν τῆς Ἀναςάσεως, ταύτην τε δικαίως καὶ ὕτοι ἀργίαν ὠνόμασαν, καὶ πρώτην ὑποθέμενοι τὴν μεθέορτον, τὴν καθ᾽ ἡμᾶς δευτέραν, δευτέραν ἐκάλεσαν τὴν παρ᾽ ἡμῖν τρίτην, καὶ τὰς ἄλλας ἐφεξῆς, ὡς προείρηται. Πότε δ᾽ οὖν ἤρξαντο τὸ πρῶτον οἵ τε Σλάβονες καὶ πολλῷ δὴ πρότερον Ἕλληνες ἐκ τῶν τακτικῶν ἀριθμῶν τὰς ἡμέρας τῆς ἑβδομάδος παρονομάζειν, οὐκ ἔχομεν λέγειν σαφῶς. Ἡ μὲν γὰρ Κυριακὴ ἀπ᾽ αὐτῶν ἤδη τῶν Ἀποςολικῶν χρόνων φαίνεται κεκλημένη (βλ. Цéрковь). *τὰς δὲ λοιπὰς τῆς ἑβδομάδος ἡμέρας ὕτως ἀριθμητικῶς ἔςιν ὅπυ καλεῖ καὶ ἡ Ἐκκλησιαςικὴ ἱςορία, μὴ προσδηλοῦσα, ὅσα γ᾽ ἐμὲ εἰδέναι, τὸν πρώτως ὀνομάσαντα. τοὺς γέμην Σλάβονας ἔοικέ πως μετὰ τῆς εἰς Χριςὸν πίςεως καὶ ταύτας τὰς ἀριθμητικὰς τῆς ἑβδο-*

μάδος προσηγορίας παρὰ τῶν Ἑλλήνων παραλαβεῖν, καθὰ καὶ τὰ Ῥωμαϊκὰ τῶν μηνῶν ὀνόματα, ὃς ἄλλως πρότερον ὠνόμαζον (βλ. Гру́дь, καὶ Ли́спъ). Τὰ δὲ Γερμανικὰ, καὶ τὰ παρὰ τοῖς ἄλλοις ἔθνεσι τῆς Εὐρώπης, ὀνόματα τῆς ἑβδομάδος πέπλαςαι σαφῶς κατὰ τὰ Λατινικὰ, παρωνυμέμενα (πλὴν τȣ̃ Σαββάτου καὶ τῆς Κυριακῆς) ἀπὸ τῶν ἑπτὰ πλανητῶν, ὧν ἑκάςῳ τινὶ ἑκάςη τις τῶν ἡμερῶν τῆς ἑβδομάδος τὸ πάλαι καθιέρωτο· Αἰγυπτίων δὲ πρώτων καὶ Χαλδαίων ταυτῆσὶ τῆς παρωνομασίας τὸ ἔθιμον, ᾧ περ Ἕλληνες ȣ̓δέποτε ȣ̓δαμȣ̃ φαίνονται νενομικότες (βλ. Δίων. 5. καὶ Φιλόςρ. βίῳ Ἀπολλων). Περὶ δὲ τῆς ἰδέας τȣ̃ πέντε ἀριθμȣ̃, τί ποτε ἄρα ἀπολύτως σημαίνει, σαφῶς μὲν ȣ̓κ ἔχομεν λέγειν· ἃ δ' εἰκάζομεν, ἐροῦμεν. Εἰμὲν τοίνυν τὸ αἰολικὸν πέμπε ἀρχαιότερον (ἢ δοκεῖ) τȣ̃ πέντε, εἴη ἂν παρὰ τὸ πέπω [τὸ γὰρ μ κατ' ἐπένθεσιν· ὡς καὶ ἐν τῷ ὀμφὴ ἐκ τȣ̃ ἔπω, εἴπω· καὶ ἐν τῷ πέμπω = mitto (παρ' ὃ παράγει τὸ πέντε ὁ Λεννέπ.), ἐκ τȣ̃ πέπω = Ϝέπω, ἔπω, ὀπάζω. Ῥειμ.]. τὸ δ' οὖν πέπω παρ' ὃ φαίνεται τὸ πέμπε = πάπω = Ϝάπω, ἅπω, ἅπτω, ἅπτομαι· ὡς ἐκ τȣ̃ αὐτȣ̃ ἅπω τὸ μάπω, μαπὴ (μ καὶ π πνευματισμοὶ, ἕτερος ἀνθ' ἑτέρȣ κατὰ διαλέκτȣς μεταλαμβανόμενοι· ὡς, μέλας, πέλας, πέλος, -λὸς, κτλ.)· καὶ ἐμφαίνοι ἂν ἡ τȣ̃ πέμπε ἰδέα ἁφὴν,

λαβὴν, ἢ χεῖρα· [ὡς καὶ τὸ μαρὴ (χεὶρ, ἐκ τῦ μάρω=ὕρω, αἴρω) = μαπὴ (=ἀφὴ), ὅθεν (ἐμμαπὴς) ἐμμαπέως, κατὰ τὸ Γαλ. maintenant, = main-tenant]. *Εἰ δ' αὖ τὸ πέμπε ἐκ τοῦ πέντε (π = τ), ἔςι δὲ τῦ πέντε ἀρχαιότερον τὸ πέτε (τὸ γὰρ ν κατ' ἐπένθεσιν, ὡς καὶ ἐν τῷ πενθῶ, παρὰ τὸ πέθω, πήθω, πάθω· καὶ ἐν τῷ σπινθὴρ, ἐκ τῦ σπίδω, σπιθαρὸς, κτλ. δηλοῖ δὲ καὶ τὸ* Пять, *καὶ* Пѣть, *ἄνευ ν ἀρχαιοτρόπως ἐκφερόμενα), εἴη ἂν τὸ πέντε συγγενὲς τοῦ (πέδω) πάδω, πίδω, ἀντὶ σπίδω (παρὰ τὸ πάω,* Пяю, *σπάω, σπάζω, σπάδω, ὅθεν τὸ λτ.* pando, expando = *πάνδω, πένδω, καὶ σπέω, σπείω, σπίω), σπίζω = ἐκτείνω, παρ' ὃ καὶ ἡ (σπιδὴς, σπιδὸς, σπιθὸς, σπιθὴ) σπιθαμὴ (βλ.* Пядь. *καθὰ καὶ δῶρον, δᾶρις ἐκ τῦ δαρὸς, δηρὸς = τηλός. βλ.* Дла́нь). *ὅθεν πάλιν ἡ τοῦ ἀριθμοῦ ἰδέα σημαίνοι ἂν ἀπολύτως τάσιν, καὶ ἰδίως τῆς χειρός· ἢ χεῖρα τοὺς δακτύλυς ἔχουσαν ἐκτεταμένυς καὶ διεςῶτας, ὡς ἡ σπιθαμή· ᾗ δὴ καὶ ὁ δέκα, ὁ διπλῦς τοῦ πέντε, πιθανώτατα συγγενὴς τοῦ δέκω, δέχω, δοχὴ, δοχμή. βλ.* Де́сять). *Εἰ τοίνυν δοκῦμέν τι λέγειν, ἔςι δήπου τό, τε πέντε συγγενὲς τῦ (σπιδὴς, σπιδέες, πεδέες, πενδέ-ες), σπιθαμὴ, Σ. πιθαμὴ, καὶ τὸ* Пять *ὡσαύτως σύγγονον τοῦ* Пядь. *Οἱ δέ τινες, τὴν ἐπιτομωτάτην βαδίζοντες, εἶπον τὸ πέντε παρὰ τὸ*

πάντε, πάντες (πάντες ἀμέλει τοι οἱ δάκτυλοι τῆς χειρός. E. S.).

Пя́ю, Пя̀, Пя́ти, *βλ.* **Пнỳ**.

ΤΕΛΟΣ ΤΟΥ Α ΤΟΜΟΥ.

VA1
1517506

XXIIII*
B
6

116
E
128.